# 13 DECEMBRIE

# PARACLISUL SF.CUVIOS GHERMAN DE LA ALASKA

## PARACLISIER-GR


SAINT
HERMAN
OF ALASKA

# Παρακλητικός Κανών Ὁσίου ΓΕΡΜΑΝΟΥ τοῦ ἐν Ἀλάσκᾳ

Ἀντ. Μάρκου

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρνβ΄(142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά παρόντα Τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Τῷ τοῦ Κυρίου Ἀποστόλῳ τῷ νέῳ,* τῷ ἐν Ἀλάσκᾳ κηρύξαντι λόγον,* Λόγου τοῦ μόνου ὑπάρχοντος Χριστοῦ τοῦ Θεοῦ,* ἅπαντες βοήσωμεν* οἱ πιστοί μετά πόθου,* χαίροις θεῖε Γερμανέ,* Ἀλεούτων προστάτα,* ἀδικουμένων καί πτωχῶν ἰθαγενῶν* ὁ ἀντιλήπτωρ,* αὐτούς ὁ ῥυόμενος.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον. Οὐ σιωπήσωμεν ποτέ Θεοτόκε.

Τῇ Θεοτόκῳ ὡς μητρί ἐκβοῶμεν,* οἱ τυραννούμενοι ἐχθροῦ δυναστείᾳ,* τῇ θεϊκῇ Σου σκέπασον ἀγάπῃ ἡμᾶς·* σπεῦσον, Κόρη, ῥύσασθαι* τῶν τοῦ Βελίαρ παγίδων,* ὁμοῦ τῷ θείῳ Γερμανῷ* καί τῆς δαιμόνων μανίας·* οὗτος οὐ παύει γάρ αἰτεῖσθαι ὑπέρ ἡμῶν,* τῇ Σῇ πρεσβείᾳ* Κυρίου τό ἔλεος.

Ὁ Ψαλμός Ν΄ (50).

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς· ΙΩΣΗΦ ΙΕΡΟΜ. ΓΕΡΜΑΝΕ ΜΝΗΣΘΗΤΙ· ΑΝΤΩΝΙΟΥ.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Ἱκετεύω Σε, Πάτερ, ἐκ τοῦ φωτός* τοῦ Σοῦ καταπέμψαι* ἀκτῖνα μίαν ἐμῷ νοΐ,* ἵνα ἐπαξίως Σοί ἐκφέρω* ψυχῆς ἐμπόνου ᾠδήν παρακλήσεως.

Ὢ τῆς ἀθλίας βοώσης πρός Σέ ψυχῆς,* τῆς ἐπιζητούσης* πρεσβείαις Σαῖς παρά Λυτρωτοῦ* ἔλεος, ἐλέει τῶν εὐχῶν Σου,* δι᾿ὧν ἐπόμβρισον ἐλέους ῥανῖδα μοι.

Δόξα.

Σωτῆρα ἀγαπήσας ἀπό ψυχῆς,* ἐμάκρυνας κόσμου,* βορρᾶ γενόμενος πολιστής* καί τούτου ἐρήμου τῆς Ἀλάσκας,* ἥν ὡς ἀστήρ πνευματικός λαμπρῶς ἐφώτισας.

Καί νῦν. Θεοτοκίον.

Ἡμᾶς, Κόρη Παρθένε, ὁ Ποιητής,* ἐν τῇ Σῇ κοιλίᾳ* ἀνεκαίνισεν συμπαθῶς·* ὁ κόλπους πατρικούς μή κενώσας,* σῶσαι θελήσας ὡς Θεός τό ἀνθρώπινον.

Ὠδὴ γ΄. Οὐρανίας ἁψίδος.

Φωτισόν μου τό σκότος* ὁ τῷ φωτί ἐποχούμενος,* χάριτι δέ Παρακλήτου* φώτισον

ἅπαντας,* τούς ἐκβοῶντας Σοί* τῷ Γερμανῷ τῆς Ἀλάσκας,* φῶς ἡμῖν κατάπεμψον,* Πάτερ τίμιε.

Ἱκετεύομεν, Πάτερ,* ἡμῶν τά πάθη καί τραύματα,* σπεῦσον Σαῖς ἁγίαις πρεσβείαις,* ταχέως ἴασαι·* ἵνα εὐφημοῦμεν Σε,* ὡς μοναζόντων τό κλέος,* Ἀλάσκας τό καύχημα,* Ἀμερικῆς τε ἀγλάϊσμα.

Δόξα.

Εὐσπλάχνως, Παρθένε,* ἡ τόν Κύριον τέξασα,* σπεῦσον καί λύτρωσαι κινδύνων* ἡμᾶς παντοίων καί θλίψεων·* σύν Σοί δέ φέρομεν,* πρός Κύριον πρεσβείαν,* Γερμανόν τόν ἔνδοξον,* Ῥωσίας καύχημα.

Καί νῦν. Θεοτοκίον.

Ῥῦσαι, Μῆτερ Παρθένε,* ἀπό κινδύνων τούς δούλους Σου,* Γερμανοῦ τάς ἱκεσίας δεχομένη,* ὅς Σέ ἠγάπησεν,* μετά Θεόν ὡς πηγήν* τῆς θείας βοηθείας,* πάσης ἀντιλήψεως* καί ἀπολυτρώσεως.

Διάσωσον* ταῖς Γερμανοῦ ἱκεσίαις Παντελεήμων,* ὅτι πάντες κατόπιν Σου αὐτῷ καταφεύγομεν,* ὡς ἔχοντι* τήν πρός Σέ παρρησίαν.

Ἐπίβλεψον* ἐπικαμπτόμενος Θεοτόκου καί τοῦ Ὁσίου ταῖς λιταῖς Πανοικτῆρμον,* ἐφ’ ἡμᾶς τούς ἀσθενεῖς* καί λύτρωσαι τόν λαόν Σου.

Κάθισμα. Ἦχος β΄. Τά ἄνω ζητῶν.

Τάφῳ τοῦ Γερμανοῦ* τοῦ θείου νῦν προσπίπομεν,* οἱ ἐν πόνοις τῇ ψυχῆς* και θλίψεσι ὑπάρχοντες·* καί ἐν αὐτῷ αἰτούμεθα* τό τοῦ Κυρίου ἄμετρον ἔλεος* καί τήν ταχεῖαν Τούτου συνδρομή ν* καί τήν βεβαίαν Αὐτοῦ ἀντίληψιν.

Ὠδή δ΄. Εἰσακήκοα Κύριε.

Ὅν ἐπόθησας, Ὅσιε,* σάρκα δι' Ὅν ἔτηξας, νῦν τεθέασαι* Παραδείσῳ αὐλιζόμενος·* διό Σέ καί ἀπαύστως μακαρίζομεν.

Μάκαρ, μακάρων τῷ τόπῳ* ἡμᾶς χειρί Σου ὁδήγησον,* δι'ἧς ἄλλοτε πρός Κύριον, * Ἀλεούτους ἐν ἀγάπῃ καθοδήγησας.

Δόξα.

Γέρας ὁ κομισάμενος* Σῶν σεπτῶν ἀγώνων ἐν τῇ Ἀλάσκᾳ, μακάριε,* πτωχοῖς διδάσκων Εὐαγγέλιον,* ἡμῖν σπεῦσον εἰς ἀντίληψιν.

Και νῦν. Θεοτοκίον.

Εὐλογημένη, Πανύμνητε,* τῶν πτωχῶν ἡ μήτηρ καί τῶν παιδίων τροφός,* Γερμανοῦ ταῖς παρακλήσεσι,* ὡς παιδία ἡμᾶς ἐλέει τροφοδότησον.

Ὠδή ε΄. Φώτισον ἡμᾶς.

Ῥῦσαι ἀπό δεινῶν* τούς προσπίπτοντας Σῇ λάρνακι* καί αἰτουμένους Παρακλήτου φωτισμόν,* Σαῖς δεήσεσι πρός Κύριον, ἀοίδημε.

Μάκαρ Γερμανέ,* τῶν πτωχῶν ὁ Ἰσαπόστολος* καί Ἀλάσκας πρός Θεόν ὁδηγητής,* μή ἐπιλάθου τῶν τιμώντων Σόν γεννέθλιον.

Δόξα.

Ἆρον ἀφ'ἡμῶν* τοῦ Βελίαρ, Πάτερ, σκάνδαλα,* ἀπειράστους δέ ἀξίωσον ἡμᾶς* τήν πρός τά ἄνω ἄγουσαν κλίμακα.

Καί νῦν. Θεοτοκίον.

Νεῦσον, Ἀγαθή,* καί ἐπόμβρισον τῷ κλήρῳ Σου,* τοῖς ἐν Ἄθῳ ἐνασκουμένοις μοναχοῖς,* τόν τοῦ Υἱοῦ Σου ὄμβρον τόν σωτήριον.

Ὠδή στ΄. Τήν δέησιν.

Εἰκόνα Σου* καί τῶν Λειψάνων τήν θήκην,* πίστει θερμῇ περικυκλοῦντες, παμμάκαρ,* ἀπό δεινῶν, ἐκ παθῶν, λυτρωθῶμεν,* τῇ Σῇ πρεσβείᾳ αἰτούμεθα, Ἅγιε,* καί τύχοιμεν τῆς ἐκ Θεοῦ,* παραπτωμάτων ἐν ἐλέει ἀφέσεως.

Μαζῶν ὡς μητρικῶν,* τοῖς λαοῖς ἐθήλασας τόν λόγον* Λόγου τοῦ μόνου, ἐν Ἀλάσκᾳ κηρύττων* τοῖς Ἀλεούτοις Χριστοῦ Εὐαγγέλιον,* Ἀπόστολος ὢν τῶν πτωχῶν,* ὑπάρχων τούτοις, Γερμανέ,* ζῶν Εὐαγγέλιον τρόποις καί ἤθεσι.

Δόξα.

Νέος ὤν* ὑπῆλθες τῷ σώματι,*
τόν ζυγόν Σύ τόν χρηστόν τοῦ Κυρίου,*
ἀπορραγείς τῶν τοῦ κόσμου ματαίων* καί ἐν

Ἀλάσκᾳ φυγαδεύων ἐμάκρυνας,* ἔνθα τόν λόγον τοῦ Θεοῦ,* τοῖς αὐτοχθόνοις λαοῖς διεκήρυξας.

Καί νῦν. Θεοτοκίον.

Ἡμᾶς τούς* νυσταγμῷ βαρυνομένους,* τῇ μητρικῇ Σου ἔγειρον προστασίᾳ* καί μή δώῃς ὑπνῶσαι Σούς δούλους,* Μῆτερ Ἁγία Παρθένε, εἰς θάνατον·* μετά γάρ τοῦ πανσέπτου Γερμανοῦ*, προστάτην βίου Σέ ἐπιγραφόμεθα, Δέσποινα.

Διάσωσον* ταῖς Γερμανοῦ ἱκεσίαις Παντελεήμων,* ὅτι πάντες κατόπιν Σου αὐτῷ καταφεύγομεν,* ὡς ἔχοντι* τήν πρός Σέ παρρησίαν.

Ἐπίβλεψον* ἐπικαμπτόμενος Θεοτόκου καί τοῦ Ὁσίου ταῖς λιταῖς Πανοικτῆρμον,* ἐφ’ ἡμᾶς τούς ἀσθενεῖς* καί λύτρωσαι τόν λαόν Σου.

Κοντάκιον. Ἦχος β’. Προστασία τῶν Χριστιανῶν.

Μεσιτείᾳ τῆς Μητρός Σου, Πολυέλεε,* ἱκεσίαις τοῦ Ὁσίου καί δεήσεσι,* τῷ Σῷ λαῷ ἐπίβλεψον καί σῶσον ἡμᾶς·* ἡμάρτομέν Σοι, Ἀγαθέ,* καί παροργίζομεν ἀεί,* τήν Σήν ἀγαθότητα·* δέχου τήν μεσιτείαν* τῆς ἀχράντου Μητρός Σου,* ἐπικαμπτόμενος, Σωτήρ,* Αὐτῆς ταῖς δεήσεσι.

Προκείμενον. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ. *Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριο ν.*

Εὐαγγέλιον ἐκ τοῦ κατά Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Πάντα μοι παρεδόθη ὑπό τοῦ Πατρός μου καί οὐ δείς ἐπιγινώσκει τόν Υἱόν, εἰμή ὁ Πατήρ. Οὐδέ τόν Πατέρα τις ἐπιγινώσκει,
εἰμή ὁ Υἱός καί ᾧ ἐάν βούληται ὁ Υἱός ἀποκαλύ ψαι.
Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καί πεφορτισ μένοι, κἀγώ ἀναπαύσω ὑμᾶς. Ἄρατε τόν ζυγόν μου ἐφ’ ὑμᾶς καί μάθετε ἀπ’ ἐμοῦ, ὅτι πρᾶος εἰμί καί ταπεινός τῇ καρδίᾳ καί εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν.
Ὁ γάρ ζυγός μου χρηστός καί τό φορτίον μου ἐ λαφρόν ἐστι.

Δόξα.

Γερμανοῦ πρεσβείαις,* λιταῖς τε, Ἐλεῆμον,* ἐξάλειψον τά πλήθη* τῶν ἐμῶν ἐγκλημάτων.

Καί νῦν.

Ταῖς τῆς Θεοτόκου* πρεσβείαις, Ἐλεῆμον,* ἐξάλειψον τά πλήθη* τῶν ἐμῶν ἐγκλημάτων.

Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι. Στ. *Ἐλέησόν με ὁ Θεός...*

Δεῦτε, Γερμανόν τά νῦν,* τόν τῆς Ἀλάσκας πολίτην,* ἐν ὕμνοις τιμήσωμεν,* οἱ αὐτῷ
προσπίπτοντες μετά πίστεως·* τῷ Θεῶ οὗτος γάρ,* ὑπέρ λαοῦ ἅπαντος,* μετά ζέσεως προσδέεται,* ἐπικαλούμενος* ἐφ’
ἡμᾶς Κυρίου τό ἔλεος* καί Τούτου τήν σωτήριον* ἐπί τοῖς δεομένοις βοήθειαν·* χαῖρε βοῶντες,* δοχεῖον τοῦ Κυρίου ἐκλεκτόν* καί τῆς Αὐτοῦ παρ ατάξεως* θεῖε Ἰσαπόστολε.

Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Σωθῆναι τούς ὑμνοῦντας* καί ἐν χαρᾷ τιμῶντας Σήν μνήμην, Σοφέ,* εὐδόκισον εὐχαῖς Σου* καί πρός Θεόν πρεσβείαις,* ἵνα εὐγνωμόνως βοήσωμεν·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Θεόν ἰδεῖν ποθοῦντες,*αἰτούμεθα ἐν ὥρᾳ τῆς παρουσίας Αὐτοῦ,* εὐχῶν Σου τῇ πρεσβείᾳ* καί πρός Αὐτόν δεήσει,* ἵνα εὐγνωμόνως βοήσωμεν·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Δόξα.

Ἡμῖν τοῖς Σοῖς ἱκέταις,* ἐπόμβρισον ῥανῖδα θείου ἐλέους, ὡς Σοί*
ἐδέχθης τῷ νοΐ Σου* καί τῇ ψυχῇ, Θεόφρον,* ἵνα εὐγνωμόνως βοήσωμεν·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Καί νῦν. Θεοτοκίον.

Τίμιος ἐναντίον* Κυρίου τοῦ Υἱοῦ Σου ἐφάνη, Μῆτερ Ἁγνή,* θάνατος τοῦ Ὁσίου* Πατρός τοῦ τῆς Ἀλάσκας,* διό εὐγνωμόνως καί κράζομεν·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Ὠδή η΄. Τόν Βασιλέα.

Ἰδεῖν Κυρίου* πρόσωπον ἱλαρόν τε,* ἐν τῇ τῆς Κρίσεως ἡμέρᾳ αἰτοῦμεν,* θείαις Σου πρεσβείαις* θεοπειθέσι, Πάτερ.

Ἄνοιξον πύλας* ἡμῖν τῆς μετανοίας* καί πρός ὁδούς σωτηρίας ὁδήγησον,* ὁ ὁδηγήσας* είς πίστιν Ἀλεούτους.

Δόξα.

Ναόν μοι δεῖξον* Πνεύματος Παρακλήτου* καί καταγώγιον τῶν ἀρετῶν, Θεόφρον,* ὅπως τύχω, Πάτερ,* ζωῆς τῆς αἰωνίου.

Καί νῦν. Θεοτοκίον.

Τείχισον, Κόρη,* ταῖς τοῦ Ὁσίου πρεσβείαις,* ἡμῶν τόν βίον, τῶν Σοί ἐπιδεομένων,* ὁδηγοῦσα ἄνω* τάς τοῦ νοός κινήσεις.

Ὠδή θ΄. Κυρίως Θεοτόκον.

Ὡράϊσον εἰκόνα* ἥν μεμολυσμένην,* ἐν ἁμαρτίας βορβόρῳ προσφέρω Θεῷ,* ἵν’ ἀσιγήτως τιμῶ Σε, Ἀλάσκας ἔφορε.

Νίκην κατά Βελίαρ* βράβευσον τοῖς βοῶσι* καί Σοί προστρέχουσι, Πάτερ, καί μέλπουσι,* ὡς παρρησίαν ἔχων Κυρίῳ Ἄνακτι.

Ἴασιν παράσχου* ψυχαῖς τῇ ἁμαρτίᾳ* μεμολυσμέναις, βαλσάμου τοῦ Πνεύματος* προχέων ῥύακα ζωῆς, Ῥωσίας ἔκγονε.

Δόξα.

Ὅρους θεσμοθεσίας* Πατέρων τῶν Ἁγίων* ἡμῖν ἐκδίδαξον, Πάτερ ἀοίδημε,* ὡς πάλαι Ἀλεούτοις πᾶσι ἐδίδαξας.

Καί νῦν. Θεοτοκίον.

Ὑμεῖς μέν Θεοτόκε, ἀνυμνολογοῦντες* Σήν δόξαν καί αἴγλην οὐ παυόμεθα·* Σύ δέ ὡς Μήτηρ ἡμᾶς πάντας ἐλέησον.

Μεγαλυνάρια.

Ἄξιον ἐστιν ὡς ἀληθῶς,*
μακαρίζειν Σε τήν Θεοτόκον,*
τήν ἀειμακάριστον καί παναμώμητον* καί μητέρα
τοῦ Θεοῦ ἡμῶν.* Τήν τιμιωτέραν τῶν Χερουβείμ*
καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ,*
τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν,*
τήν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις τῆς Ῥωσίας θεῖος βλαστός,* Βαλαάμ σεμνείου τό ἀπάνθισμα τό σεπτόν·* χαίροις τό ἐν Ἀλάσκᾳ ἐξανθήσαν ἴον,* ὦ Γερμανέ τρισμάκαρ,* Θεοῦ Ἀπόστολε.

Χαίροις Ἀλεούτων ὁ Φωτιστής,* ὁ πτωχῶν καί παίδων εὐεργέτης καί ὁδηγός·* χαίροις Ναζαρίου υἱέ καί Παϊσίου,* ὧν τήν διδασκαλίαν βίῳ ἐκράτυνας.

Χαίροις ἡσυχίας ὁ ἐραστής,* ὁ δασῶν βορείων ἐν ἐρημίᾳ ὁ οἰκιστής·* χαίροις ὁ ἀγάπῃ πλησίον τετρωμένος,* δι' ἥν τήν ἡσυχίαν τῷ λόγῳ ἥνωσας.

Χαίροις ὁ προστάτης Ἀμερικῆς,* μετά θείου Πέτρου,* τοῦ ἀπό χεῖρας αἱρετικῶν,* θάνατον λαβόντος, ὑπέρ τῆς ἀληθείας* τῆς μιᾶς τοῦ Κυρίου,* τοῦ οὐρανόφρονος.

Χαίροις ὁ ἐπικύπτων ἐξ' οὐρανῶν,* οἰκονομῆσαι χρείας τοῦ ποιμνίου Σου τοῦ πτωχοῦ,* μετά τοῦ Σοῦ συνάθλου Ἰουβεναλίου,* μεθ'οὗ καί ἱκετεύεις τόν Πανοικτήρμονα.

Χαίροις ὁ ποιήσας ταῖς Σαῖς χερσί,* πλακοῦντας παιδίοις,* διατρέφων αὐτά τροφῇ* γηΐνῃ, σύν θείᾳ πνευματικῇ Κυρίου,* ὡς θεῖος ἑστιάτωρ,* πατήρ καί μήτηρ ὁμοῦ.

Σκέπε, διαφύλαττε τούς τήν Σήν* μνήμην ἐν τῷ Ὄρει* νῦν τιμῶντας καί τό αὐτῶν* σκέπασον Κελλίον* Σαῖς χερσί πανιέραις* καί πύλας Βασιλείας αὐτοῖς διάνοιξον.

Δέχου ἱκετήριον νῦν ᾠδήν,* ἔπειδε ἐπί πόνον* καί ἐπί ἄλγος ἐμῆς ψυχῆς* καί ῥύου τῆς γεέννης καί δεινοτάτου ἐρέβους,* φωτίζων Σαῖς ἀκτῖσι τόν Σέ ὑμνήσαντα.

Τό Μεγαλυνάριον τοῦ Ἁγίου τοῦ Ναοῦ ἤ τ οῦ Ἁγίου τῆς ἡμέρας. Καί κλείομεν μετά τοῦ·

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,* Πρόδρομε Κυρίου,* Ἀποστόλων ἡ δωδεκάς,* οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου,* ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα.
Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς,* Κύριε, ἐλέησον ἡμᾶς,* πάσης γάρ ἀπολογίας ἀποροῦντες,* ταύτην Σοι τήν ἱκεσίαν,* ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν,* ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς,* ἐπί Σοί γάρ πεποίθαμεν.* Μή ὀργισθῇς ἡμῖν σφόδρα,* μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν.* Ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος* καί λύτρωσαι ἡμᾶς* ἐκ τῶν ἐχθρῶν ἡμῶν.* Σύ γάρ εἶ Θεός ἡμῶν* καί ἡμεῖς λαός Σου,* πάντες ἔργα χειρῶν Σου* καί τό ὄνομά Σου ἐπι κεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε,* ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσωμεν,*

ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων·*
Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἀπόλυσις.

Καί τῶν Χριστιανῶν ἀσπαζομένων τήν Εἰκόνα τοῦ Ὁσίου καί χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τά παρόντα Τροπάρια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Πάντας τούς προσφεύγοντας πιστῶς,* ἐν τῷ Σῷ ναῷ καί τῷ τάφῳ,* Ἀπόστολε Γερμανέ,* ῥύου πάσης θλίψεως καί περιστάσεως·*
τῶν παθῶν δέ διάλυσον* τόν σάλον, πταιόντων,* ἅπασι προχέων νῦν* χάριν σωτήριον·* Σύ γάρ τῆς Ἀλάσκας ὑπάρχεις* καί τῶν Ἀλεούτων προστάτης,* πάντων δέ πιστῶν σεπτόν ἐντρύφημα.

Ἦχος πλ. δ΄.

Δέσποινα πρόσδεξαι* τάς δεήσεις τῶν δούλ ων Σου* καί λύτρωσαι ἡμᾶς* ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Ἦχος β΄.

Τήν πᾶσαν ἐλπίδα μου* εἰς Σέ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,*
φύλαξόν με ὑπό τήν σκέπην Σου.

Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῆς Ῥωσίας τόν γόνον,* Βαλαάμ τό ἀπάνθισμα* καί Ἀλάσκας θεῖον προστάτην* Γερμανόν μακαρίσωμεν·* αὐτός μέν ὡς πατήρ

ἀληθινός,* κήδεται τεκνίων προσφιλῶν·* ἡμεῖς ὡς τεκνία ἐν γλυκασμῷ* Κυρίῳ ἐκβοήσωμεν·* δόξα τοῖς μεγαλείοις Σου Χριστέ,* δόξα τοῖς θαυμασίοις Σου,* δόξα ὅτι ἡμῖν ἐδωρήσω* αὐτόν πρέσβυν ἀκοίμητον.

Στίχοι·

*Γράψαντα πτωχόν καί πένητα τοῖς ἔργοις,*
*Ἀντώνιον, ὁδήγησον εἰς μετανοίας τρίβους,*
*ἵνα μή θέλων εὑρεθῇ ἔξω τῆς Βασιλείας,*
*ὡς ἄλλοτε οἱ τῆς Κιβωτοῦ ἐργάται, ἐπί Νῶε,*
*οἵ ἔκτισαν τήν Κιβωτόν εἰς σωτηρίαν ἄλλων,*
*αὐτοί δέ οὐκ ἐσώθησαν, ἐπεί οὐκ εἰσῆλθαν ὅλως.*